καὶ ὁ πλοῦτος· ὥστε πρῶτον ἡ γεωργικὴ πότερον μέρος τι τῆς χρηματιστικῆς, ἢ ἕτερόν τι γένος, καὶ καθόλου ἡ περὶ τὴν τροφὴν ἐπιμέλεια καὶ κτῆσις; ἀλλὰ μὴν εἴδη γε πολλὰ τροφῆς. διὸ καὶ βίοι πολλοί, καὶ τῶν ζώων, καὶ τῶν ἀνθρώπων εἰσίν· οὐ γὰρ οἷόν τε ζῆν ἄνευ τροφῆς. ὥστε αἱ διαφοραὶ τῆς τροφῆς τοὺς βίους πεποιήκασι διαφέροντας τῶν ζώων. τῶν τε γὰρ θηρίων, τὰ μὲν ἀγελαῖα, τὰ δὲ σποραδικά ἐστιν, ὁποτέρως συμφέρει πρὸς τὴν τροφὴν αὐτοῖς, διὰ τὸ τὰ μὲν ζωοφάγα, τὰ δὲ καρποφάγα, τὰ δὲ παμφάγα αὐτῶν εἶναι. ὥστε πρὸς τὰς ῥαστώνας καὶ τὴν αἵρεσιν τὴν τούτων ἡ φύσις τοὺς βίους αὐτῶν διώρισεν. ἐπεὶ δ' οὐ ταὐτὸ ἑκάστῳ ἡδὺ κατὰ φύσιν, ἀλλὰ ἕτερα ἑτέροις, καὶ αὐτῶν τῶν ζωοφάγων καὶ τῶν καρποφάγων οἱ βίοι πρὸς ἄλληλα διεστᾶσιν· ὁμοίως δὲ καὶ τῶν ἀνθρώπων. πολλοῖς γὰρ διαφέρουσιν οἱ τούτων βίοι. οἱ μὲν οὖν ἀργότατοι, νομάδες εἰσίν· ἡ γὰρ ἀπὸ τῶν ἡμέρων τροφὴ ζώων, ἄνευ πόνου γίνεται σχολάζουσιν. ἀναγκαίου δ' ὄντος μεταβάλλειν τοῖς κτήνεσι διὰ τὰς νομὰς, καὶ αὐτοὶ ἀναγκάζονται συνακολουθεῖν, ὥσπερ γεωργίαν ζῶσαν γεωργοῦντες· οἱ δ' ἀπὸ θήρας ἕτεροι ἑτέρας· οἷον, οἱ μὲν ἀπὸ λῃστείας, οἱ δ' ἀφ' ἁλιείας ὅσοι λίμνας, καὶ ἕλη, καὶ ποταμοὺς, ἢ θάλατταν τοιαύτην προσοικοῦσιν· οἱ δ', ἀπ' ὀρνίθων, ἢ θηρίων ἀγρίων. τὸ δὲ πλεῖστον γένος τῶν ἀνθρώπων, ἀπὸ τῆς γῆς ζῇ, καὶ [τῶν] ἡμέρων καρπῶν. οἱ μὲν οὖν βίοι τοσοῦτοι σχεδόν εἰσιν, ὅσοι γε αὐτόφυτον ἔχουσι τὴν ἐργασίαν, καὶ μὴ δι' ἀλλαγῆς καὶ καπηλείας πορίζονται τὴν τροφὴν, νομαδικὸς, γεωργικὸς, λῃστρικὸς, ἁλιευτικὸς, θηρευτικός· οἱ δὲ καὶ μιγνύντες, ἐκ τούτων ἡδέως ζῶσι, προσαναπληροῦντες τὸν ἐνδεέστατον βίον, ᾗ τυγχάνει ἐλλείπων πρὸς τὸ αὐτάρκης εἶναι· οἷον, οἱ μὲν νομαδικὸν ἅμα καὶ λῃστρικὸν, οἱ δὲ γεωργικὸν καὶ θηρευτικόν. ὁμοίως δὲ καὶ περὶ τοὺς ἄλλους, ὡς ἂν ἡ χρεία συναναγκάζῃ, τοῦτον τὸν τρόπον διάγουσιν. ἡ μὲν οὖν τοιαύτη κτῆσις ὑπ' αὐτῆς φαίνεται τῆς φύσεως διδομένη πᾶσιν, ὥσπερ κατὰ τὴν πρώτην γένεσιν εὐθὺς, οὕτω καὶ τελειωθεῖσι. καὶ γὰρ κατὰ τὴν ἐξ ἀρχῆς γένεσιν, τὰ μὲν συνεκτίκτει τῶν ζώων τοσαύτην τροφὴν, ὡς ἱκανὴν εἶναι, μέχρις οὗ ἂν δύνηται αὐτὸ αὑτῷ πορίζειν τὸ γεννηθέν· οἷον, ὅσα σκωληκοτοκεῖ, ἢ ᾠοτοκεῖ· ὅσα δὲ ζωοτοκεῖ, τοῖς γενομένοις ἔχει τροφὴν

A complectuntur partes: itaque primum dubitatio est, agricultura vtrum pars aliqua sit illius acquirendi disciplinæ, an aliud quoddam genus: & omnino circa alimentum cura & acquisitio. Atqui species alimentandi multæ sunt. quapropter & vitæ plures sunt, animalium, & hominum. non enim fieri potest, vt viuatur sine alimento. Itaque diuersitates alimentorum diuersas fecerunt animalium vitas. B Nam ferarum quidem aliæ gregales sunt, aliæ soliuagæ: vt hoc, vel illo modo, illis conducit ad victum, quoniam aliæ viuis animalibus, aliæ fructibus, aliæ cunctis pascuntur, quare ad facultatem victus atque delectum ipsarum vitas natura distinxit. Cùm verò non idem cuique dulce sit secundum naturam, sed aliis alia: & illarum quæ animalia, & illarum quæ fructus comedunt, vitæ inter se C differunt. Hoc idem est in hominibus. differunt enim multæ eorum vitæ, nam pigerrimi qui sunt, pastoralem vitam sequuntur: quoniam à mansuetis animalibus sine labore educatio ipsis prouenit otiosis, cúmque sit necesse mutare locum animalibus, & ipsi coguntur vna sequi, quasi agriculturam quandam viuam colentes. Alij verò ex præda viuunt, & præda quidem alia alij, ceu alij venantes, alij pi- D scantes: vt qui paludes, & stagna & flumina, & mare accolunt: alij ab auibus & feris, sed maxima pars hominum à terra viuit, & à fructibus non syluestribus. Vitæ igitur ferè tot sunt, quot secum propriam & innatam habent operationem, nec per commutationem & commercia sibi præparant alimentum: pastoralis, agricultura, prædatoria, piscatoria, venatoria. Sunt & qui ista miscentes, iucundè vi- E uant, supplentes deficientem vitam qua deficiens est, vt sufficientia assit: ceu pastoralem simul quidem & prædatoriam, alij verò agriculturam & venationem, eodem modo & circa alias, vt indigentia compellit, in hunc modum degunt. Talis igitur acquisitio ab ipsa videtur natura hominibus data, vt statim post genituram, sic etiam ad perfectionem deductis. nam ab ipso generationis initio quæ- F dam animalium simul exprimunt tantum alimenti, vt sufficiat donec possit sibiipsi acquirere quod generatum est, vt quæcunq. ex putredine, vel ex ouis gignũtur, quę verò pariunt viuentia, alimentum